τοῦ ἵππου ἅγιον τῷ κυρίῳ παντοκράτορι, καὶ ἔσονται οἱ λέβητες
οἱ ἐν τῷ οἴκῳ κυρίου ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου,
21καὶ ἔσται πᾶς λέβης ἐν Ιερουσαλημ καὶ ἐν τῷ Ιουδα ἅγιον τῷ 21
κυρίῳ παντοκράτορι· καὶ ἥξουσιν πάντες οἱ θυσιάζοντες καὶ λήμ-
ψονται ἐξ αὐτῶν καὶ ἑψήσουσιν ἐν αὐτοῖς. καὶ οὐκ ἔσται Χανα-
ναῖος οὐκέτι ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

20 παντοκρατ. > S^c*C* | και > S*† | οι ult. AQW] > BS*LC* || 21 αγιον AQW*C*] -ος BS*L* | ουκετι AQW] ετι BS*LC*

Subscr. ζαχαριας ια′ BSA: cf. inscr.

# ΜΑΛΑΧΙΑΣ

1Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ισραηλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ· 1
θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν.
2Ἠγάπησα ὑμᾶς, λέγει κύριος. καὶ εἴπατε Ἐν τίνι ἠγάπησας 2
ἡμᾶς; οὐκ ἀδελφὸς ἦν Ησαυ τοῦ Ιακωβ; λέγει κύριος· καὶ ἠγά-
πησα τὸν Ιακωβ, 3τὸν δὲ Ησαυ ἐμίσησα καὶ ἔταξα τὰ ὅρια αὐτοῦ 3
εἰς ἀφανισμὸν καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δόματα ἐρήμου.
4διότι ἐρεῖ ἡ Ιδουμαία Κατέστραπται, καὶ ἐπιστρέψωμεν καὶ ἀνοι- 4
κοδομήσωμεν τὰς ἐρήμους· τάδε λέγει κύριος παντοκράτωρ Αὐτοὶ
οἰκοδομήσουσιν, καὶ ἐγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς
ὅρια ἀνομίας καὶ λαὸς ἐφ᾽ ὃν παρατέτακται κύριος ἕως αἰῶνος.
5καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε Ἐμεγαλύνθη κύ- 5
ριος ὑπεράνω τῶν ὁρίων τοῦ Ισραηλ.
6Υἱὸς δοξάζει πατέρα καὶ δοῦλος τὸν κύριον αὐτοῦ. καὶ εἰ πατήρ 6
εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι ἐγώ, ποῦ ἐστιν
ὁ φόβος μου; λέγει κύριος παντοκράτωρ. ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλί-
ζοντες τὸ ὄνομά μου· καὶ εἴπατε Ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά
σου; 7προσάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημέ- 7
νους. καὶ εἴπατε Ἐν τίνι ἠλισγήσαμεν αὐτούς; ἐν τῷ λέγειν ὑμᾶς
Τράπεζα κυρίου ἐξουδενωμένη ἐστὶν καὶ τὰ ἐπιτιθέμενα βρώματα
ἐξουδενωμένα. 8διότι ἐὰν προσαγάγητε τυφλὸν εἰς θυσίαν, οὐ κακόν; 8
καὶ ἐὰν προσαγάγητε χωλὸν ἢ ἄρρωστον, οὐ κακόν; προσάγαγε δὴ
αὐτὸ τῷ ἡγουμένῳ σου, εἰ προσδέξεται αὐτό, εἰ λήμψεται πρόσ-

Mal.: BSA. — de QW*LC* cf. Os.

Inscr.: μαλαχιας ιβ′ BSA: cf. Os. inscr.

1 2 fin.] + λεγει κυριος S† || 4 ερημους BS*W(uid.) pau.] ηρημωμενας rel. (+ αυτης S^c*LC*) || 5 οι > B† || 6 αυτου] + φοβηθησεται S^c*L* || 7 εξουδενωμενη QWS^c*LC* (*C*† θενη pro δενω)] ηλισγημενη BS*A | βρωματα AQWS^c] > BS**LC* | εξουδενωμενα AQW] -νωται V*C*†, -νωσατε BS*L* || 8 προσαγαγε] -γετε S*† | αυτο ult. AQWS^c] σε BS**C*, > *L*